ἐπὶ πασῶν ὡσαύτως. Ὑποτεθείσης γὰρ τῆς ἀντιστρεφούσης, ἐξ ἀνάγκης ἕπεται εἰς ἣν ἐκείνη τὴν ἀντιστροφὴν ἐπιδέχεται. Ἀλλὰ περὶ Ἀκολουθίας Προτάσεων ἐχομένως.

# ΚΕΦ. ΟΓΔΟΟΝ.

## Περὶ τῆς τῶν Προτάσεων Ἀκολουθίας.

### §. φγ´.

Ἀκολουθία προτάσεων ἐστὶν, ἡ δυεῖν ἀποφάνσεων, ἐκ τῆς περὶ τὸ ἀληθεύειν, ἢ ψεύδεσθαι, συμπαθείας πρὸς ἀλλήλας, ἢ ἀντιπαθείας, τῆς ἑτέρας ἀπὸ τῆς ἑτέρας ἄμεσος ἐπιφορά. Ἐκ μὲν συμπαθείας, ἐπειδὰν ἡ θατέρας θέσις τὴν θατέρας θέσιν ἐπιφέρειν παρέχηται, καὶ ἡ ἄρσις τὴν ἄρσιν. Ἐκ δὲ ἀντιπαθείας, ἐὰν ἡ μὲν θέσις τὴν ἄρσιν τῆς ἑτέρας, ἡ δὲ ἄρσις τὴν θέσιν, ἀνάπαλιν. Ἄμεσος δὲ ἡ τοιάδε ἐπιφορὰ, ὡς ἐξ αὐτῶν τῶν λογικῶν ὅρων, τῶν ἄχρι τοῦδε ἐκτεθέντων γινομένη, μηδὲ ταῖς κατὰ Διάνοιαν ἐρειδομένη συλλογιστικαῖς μεθόδοις, περὶ ὧν ὕστερον.

§. φδ´. Θεωρείσθω οὖν ἡ ἐν ταῖς προτάσεσιν Ἀκολουθία, Α. ὡς ἀπὸ τοῦ κατὰ τὰς Ἐννοίας Πλάτους (§. πϛ´.). Β. ὡς ἀπὸ τοῦ Βάθους (§. πδ´.), Γ. ὡς ἐκ τῆς τῶν ἀποφάνσεων Ἀντιθέσεως (§. υλδ´. κξ´.). Δ´. ὡς ἐκ τῆς τῶν αὐτῶν Ἰσοδυναμίας. (§. υνδ´. κξ´.) Ε. ἐκ τῆς Ἀντιστροφῆς. (§. υξζ´. κξ´.)

§. φε´. Καὶ ἐκ μὲν δὴ τοῦ Πλάτους πρότασις προτάσει συνέπεσθαι φιλεῖ. Α´. Οἱαδήποτε γὰρ προτάσει, ἐν ᾗ τὸ ἀνωτέρω ὑπόκειται, ἅπασαι αἱ τοῖς κατωτέρω ἐκείνου μέχρις ἀτόμων ἐφεξῆς προϊοῦσιν, ὡς ὑποκειμένοις τὸ αὐτὸ προσάπτουσαι κατηγορούμενον, ἢ τούτων αὐτὸ ἀπάγουσαι, ὀρθῶς συνέπονται. (§. ρο´.) οἷον τῇ πᾶσα οὐσία αὐθύπαρκτος, καὶ ἡ τὸ σῶμα, καὶ ἡ τὸ ἔμψυχον, κτ. Καὶ τῇ οὐδεμία οὐσία ἐν ὑποκειμένῳ, καὶ ἡ μηδὲ τὸ σῶμα, μηδὲ τὸ ἔμψυχον, κτ. αἱ πᾶσαι ἀκόλουθοι εἰσίν.

§. φϛ´. Β´. Τῇ τοῦ ὑποκειμένου καταφατικῶς μὲν κατηγορούσῃ τὸ ἀνωτέρω, ἅπασαι αἱ κατὰ τοῦ αὐτοῦ τὰ κατωτέρω λέ-

γουσαι



γουσαι κατὰ διάζευξιν, ἑπόμεναι εἰσὶ, διὰ τὴν τοῦ κατηγορουμένου συστολὴν (§. σκη´.)· οἷον τῇ Σωκράτης ἐστὶν οὐσία, αἱ ὅτι σῶμα, ἢ μή· ἔμψυχον, ἢ μή· ζῶον, ἢ μή· ἄνθρωπος, ἢ μή. Ἀποφατικῶς δὲ, καὶ διαζεύξεως ἄνευ ἁπλῶς, διὰ τὸ τοῦ κατηγορουμένου ὁλοπλατές. (§. Αὐτ.) οἷον τῇ ἡ γραμμὴ οὐκ ἔστι σῶμα, αἱ οὔτ᾽ ἔμψυχον, οὔτε ζῶον, καὶ αἱ λοιπαί.

§. φζ´. Ἐκ δὲ τοῦ Βάθους Α´. Προτάσει ἐν ᾗ τὸ κατωτέρω ὑπόκειται, ἅπασαι αἱ τῶν ἀνωτέρω (ἀλλὰ μετὰ συστολῆς) ὡς ὑποκειμένων, τὸ αὐτὸ καταφάσκουσαι, παρέπονται· διὰ τὴν ἐν τοῖς κατωτέρω τῶν ἀνωτέρω κατὰ βάθος περιοχήν. (§. πθ´.). Οἷον τῇ Σωκράτης ἐστὶ φιλόσοφος, καὶ ἡ τὶς ἄνθρωπος, καὶ ἡ τὶ ζῶον κτ.

§. φη´. Β´. Προτάσει ἐν ᾗ τὸ κατωτέρω κατηγορεῖται, αἱ κατὰ τοῦ αὐτοῦ καὶ τὰ ἀνωτέρω λέγουσαι ἀκόλουθοι εἰσί· τὸ γὰρ κατηγορούμενον ὁλοβαθῶς κατηγορεῖται. (§. σκη´). Οἷον τῇ Σωκράτης ἐστὶν ἄνθρωπος, αἱ ὅτι καὶ ζῶον, ὅτι καὶ ἔμψυχον, κτ.

§. φθ´. Γ´. Καὶ τῇ κατηγορούσῃ τὸ Εἶδος, αἱ τοῦ αὐτοῦ κατηγοροῦσαι τήν τε εἰδοποιὸν Διαφορὰν, καὶ τῶν ἰδίων τὸ τοῦ Β´ τρόπου· Καὶ τὸ τοῦ Γ´., οὐχ ἁπλῶς μὲν, ποτὲ δέ· καὶ τὸ τοῦ Δ´. καὶ γὰρ καὶ ταῦτα τὸ τοῦ κατηγορουμένου βάθος συνίστησι. (§. πδ´.). Καίγε τὸ κατηγορούμενον ἔχει κἀνταῦθα ὁλοβαθῶς. (§. σκη.). Οἷον τῇ Σωκράτης ἄνθρωπος, αἱ καὶ λογικὸν, καὶ δίπουν, καίποτε γελᾷ, καὶ γελαστικόν. Ὡσαύτως δὲ καὶ τῇ κατηγορούσῃ τὸν ὁρισμόν. Ὁ γὰρ ὁρισμὸς ἀνάπτυξις τοῦ Εἴδους ἐστὶ (§. ριϛ´.).

§. φι´. Δ´. Τῇ δέ τι τοῦ ὑποκειμένου ἀποφασκούσῃ, αἱ καὶ ἀπὸ τοῦ ἀνωτέρω τὸ αὐτὸ ἀπάγουσαι ἀκολουθοῦσιν, εἰς ὃ ἄντι τῷ κατηγορουμένῳ συνεπινοούμενον ἀπαντήσειεν. Οἷον τῇ Σωκράτης οὐκ ἔστι γραμμὴ, καὶ ἡ ἄνθρωπος, καὶ ἑξῆς, ἄχρι τῆς οὐσίας· τῇ δὲ οὐκ ἔστι τετράπουν, ἀκολουθεῖ μὲν καὶ ἡ ἄνθρωπος, οὐκέτι δὲ καὶ ἡ τὸ ζῶον· συνεπινοεῖται γὰρ τὸ ζῶον αὐτῷ τῷ τετράποδι. Οὕτω δὴ, καὶ τῇ ἄνθρωπος οὐκ ἔστι λίθος, ἕπεται καὶ ἡ τὸ ζῶον, καὶ ἡ τὸ ἔμψυχον· οὐκέτι δὲ καὶ ἡ τὸ σῶμα ἁπλῶς· τοῦτο γὰρ τῷ λίθῳ κατὰ βάθος συνεξακούεται.

§. φια´. Ε´. Τῇ τοῦ ὑποκειμένου τι ἀποφασκούσῃ αἱ τὰ τοῦ κατηγορουμένου ἀνώτερα, ἀπὸ τοῦ αὐτοῦ ἀπάγουσαι ὑποκειμένου ἀκόλουθοι εἰσί, πλὴν εἰ μήτινι κἀνταῦθα τὸ ὑποκείμενον συ-



ναν-